Εἰς τοσοῦτον δὲ ἀναισχυντίας ἀφῖκται, ὥστε καὶ πα- 33
ρασκευάζεται τὰ πολιτικὰ πράττειν καὶ ἤδη δημηγορεῖ
καὶ ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισί, καὶ
συμβουλεύει εἰς τὴν βουλὴν εἰσιὼν περὶ θυσιῶν καὶ
προσόδων καὶ εὐχῶν καὶ μαντειῶν. καίτοι τούτῳ πει-
θόμενοι ποίοις θεοῖς ἡγήσεσθε κεχαρισμένα ποιεῖν; μὴ
γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταί, εἰ ὑμεῖς βούλεσθε τὰ
τούτῳ πεποιημένα ἐπιλαθέσθαι, καὶ τοὺς θεοὺς ἐπιλή-
σεσθαι. ἀξιοῖ δὲ οὐχ ὡς ἠδικηκὼς ἡσυχίαν ἔχων πολι- 34
τεύεσθαι, ἀλλ' ὥσπερ αὐτὸς ἐξευρὼν τοὺς τὴν πόλιν
ἀδικήσαντας, οὕτω διανοεῖται, καὶ παρασκευάζεται ὅπως
ἑτέρων μεῖζον δυνήσεται, ὥσπερ οὐ διὰ πρᾳότητα καὶ
ἀσχολίαν τὴν ὑμετέραν οὐ δεδωκὼς ὑμῖν δίκην, εἰς οὓς
νῦν ἁμαρτάνων οὐ λανθάνει, ἀλλ' ἅμα ἐξελεγχθήσεταί
τε καὶ δώσει δίκην.

Ἰσχυριεῖται δὲ καὶ τούτῳ τῷ λόγῳ· ἀναγκαίως γὰρ 35
ἔχει ὑμᾶς διδάσκειν ἃ οὗτος ἀπολογήσεται, ἵν' ἀκούσαν-
τες παρ' ἀμφοτέρων ἄμεινον διαγνῶτε. φησὶ γὰρ ἀγαθὰ
μεγάλα ποιῆσαι τὴν πόλιν μηνύσας καὶ ἀπαλλάξας δέους
καὶ ταραχῆς τῆς τότε. τίς δὲ τῶν μεγάλων κακῶν αἴτιος
ἐγένετο; οὐκ αὐτὸς οὗτος, ποιήσας ἃ ἐποίησεν; εἶτα τῶν 36
μὲν ἀγαθῶν δεῖ τούτῳ χάριν εἰδέναι, ὅτι ἐμήνυσε, μι-
σθὸν ὑμῶν αὐτῷ διδόντων τὴν ἄδειαν, τῆς δὲ ταραχῆς
καὶ τῶν κακῶν ὑμεῖς αἴτιοί ἐστε, ὅτι ἐζητεῖτε τοὺς ἠσε-
βηκότας; οὐ δήπουθεν, ἀλλ' αὐτὸ τούτου τοὐναντίον
ἐτάραξε μὲν οὗτος τὴν πόλιν, κατεστήσατε δ' ὑμεῖς.

Πυνθάνομαι δ' αὐτὸν μέλλειν ἀπολογήσεσθαι ὡς αἱ 37
συνθῆκαι καὶ αὐτῷ εἰσι, καθάπερ καὶ τοῖς ἄλλοις Ἀθη-
ναίοις. καὶ τοῦτο πρόσχημα ποιούμενος οἴεται πολλοὺς
ὑμῶν, δεδιότας μὴ λύσητε τὰς συνθήκας, αὐτοῦ ἀποψη-
φιεῖσθαι. ὡς οὖν οὐδὲν προσήκει Ἀνδοκίδῃ τῶν συν- 38